eul_wid: ewe-aa

*Παρράσιος ὁ Ἐφέσιος* · Parrhasius of Ephesus

# Epigrams

*Ἐπιγράμματα*

**Period:** *Κλασική* Classical
**Dialect:** *Ἰωνικὴ Ἐλεγειακή* Ionic Elegiac
**Domain:** *Ποίησις* Poetry
**Format:** *Ἔμμετρος* Verse

book 1 Ἁβροδίαιτος ἀνὴρ ἀρετήν τε σέβων τάδ’ ἔγραψεν [para]Παρράσιος κλεινῆς πατρίδος ἐξ Ἐφέσου. οὐδὲ πατρὸς λαθόμην Εὐήνορος, ὅς 〈μ’〉 ἀνέφυσε γνήσιον, Ἑλλήνων πρῶτα φέροντα τέχνης.

book 2 Εἰ καὶ ἄπιστα κλύουσι, λέγω τάδε· ‘φημὶ γὰρ ἤδη [para]τέχνης ηὑρῆσθαι τέρματα τῆσδε σαφῆ χειρὸς ὑφ’ ἡμετέρης· ἀνυπέρβλητος δὲ πέπηγεν [para]οὖρος. ἀμώμητον δ’ οὐδὲν ἔγεντο βροτοῖς.‘

book 3 οἷος δ’ ἐννύχιον φαντάζετο πολλάκι φοιτῶν Παρρασίωι δι’ ὕπνου, τοῖος ὅδ’ ἐστὶν ὁρᾶν.